καὶ ἐξῆλθον αἱ δύο ἅμα κατὰ τὸν ἐθισμὸν αὐτῶν ἐπὶ τὴν προσευ-
χήν· καὶ διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλωσαν τὴν φάραγγα ἐκεί-
νην καὶ προσανέβησαν τὸ ὄρος Βαιτυλουα καὶ ἦλθοσαν πρὸς τὰς
πύλας αὐτῆς.
11 [11] Καὶ εἶπεν Ιουδιθ μακρόθεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυλῶν
Ἀνοίξατε ἀνοίξατε δὴ τὴν πύλην· μεθ᾽ ἡμῶν ὁ θεὸς ὁ θεὸς ἡμῶν
ποιῆσαι ἔτι ἰσχὺν ἐν Ισραηλ καὶ κράτος κατὰ τῶν ἐχθρῶν, καθὰ
12 καὶ σήμερον ἐποίησεν. [12] καὶ ἐγένετο ὡς ἤκουσαν οἱ ἄνδρες τῆς
πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν τοῦ καταβῆναι ἐπὶ
τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους
13 τῆς πόλεως. [13] καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου
αὐτῶν, ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτήν, καὶ ἤνοιξαν τὴν
πύλην καὶ ὑπεδέξαντο αὐτὰς καὶ ἅψαντες πῦρ εἰς φαῦσιν περι-
14 εκύκλωσαν αὐτάς. [14] ἡ δὲ εἶπεν πρὸς αὐτοὺς φωνῇ μεγάλῃ Αἰνεῖτε
τὸν θεόν, αἰνεῖτε· αἰνεῖτε τὸν θεόν, ὃς οὐκ ἀπέστησεν τὸ ἔλεος
αὐτοῦ ἀπὸ τοῦ οἴκου Ισραηλ, ἀλλ᾽ ἔθραυσε τοὺς ἐχθροὺς ἡμῶν
15 διὰ χειρός μου ἐν τῇ νυκτὶ ταύτῃ. [15] καὶ προελοῦσα τὴν κεφαλὴν
ἐκ τῆς πήρας ἔδειξεν καὶ εἶπεν αὐτοῖς Ἰδοὺ ἡ κεφαλὴ Ολοφέρνου
ἀρχιστρατήγου δυνάμεως Ασσουρ, καὶ ἰδοὺ τὸ κωνώπιον, ἐν ᾧ
κατέκειτο ἐν ταῖς μέθαις αὐτοῦ· καὶ ἐπάταξεν αὐτὸν ὁ κύριος ἐν
16 χειρὶ θηλείας· [16] καὶ ζῇ κύριος, ὃς διεφύλαξέν με ἐν τῇ ὁδῷ μου,
ᾗ ἐπορεύθην, ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώλειαν
αὐτοῦ, καὶ οὐκ ἐποίησεν ἁμάρτημα μετ᾽ ἐμοῦ εἰς μίασμα καὶ αἰσχύ-
17 νην. [17] καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα καὶ κύψαντες προσεκύνησαν
τῷ θεῷ καὶ εἶπαν ὁμοθυμαδόν Εὐλογητὸς εἶ, ὁ θεὸς ἡμῶν ὁ ἐξου-
δενώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμερον τοὺς ἐχθροὺς τοῦ λαοῦ σου.
18 [18] καὶ εἶπεν αὐτῇ Οζιας Εὐλογητὴ σύ, θύγατερ, τῷ θεῷ τῷ ὑψίστῳ
παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς, καὶ εὐλογημένος κύριος
ὁ θεός, ὃς ἔκτισεν τοὺς οὐρανοὺς καὶ τὴν γῆν, ὃς κατεύθυνέν σε
19 εἰς τραῦμα κεφαλῆς ἄρχοντος ἐχθρῶν ἡμῶν· [19] ὅτι οὐκ ἀποστήσε-
ται ἡ ἐλπίς σου ἀπὸ καρδίας ἀνθρώπων μνημονευόντων ἰσχὺν θεοῦ
20 ἕως αἰῶνος· [20] καὶ ποιήσαι σοι αὐτὰ ὁ θεὸς εἰς ὕψος αἰώνιον τοῦ
ἐπισκέψασθαί σε ἐν ἀγαθοῖς, ἀνθ᾽ ὧν οὐκ ἐφείσω τῆς ψυχῆς σου
διὰ τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν, ἀλλ᾽ ἐπεξῆλθες τῷ πτώματι

10 επι την προσευχην > B | το ορος] προς S*† || 11 ανοιξ. δη] tr. A | εχθρων] + ημων B*† || 12 αυτης $1^0$ > S | του > S† || 13 αυτων > SA$B^c$ | το] του B*† | υπεδεξαντο] απ. B*$L^p$†, επ. $B^c$†, εισεδ. S† | και ult. > BS*$L^p$† || 14 θεον $1^0$] κυριον A† | θεον $1^0 \frown 2^0$ S 58† | θεον $2^0$] κυριον AL† | ος] οτι A || 15 κωνωπ.] + αυτου A† || 16 κυριος] pr. ο A || 17 ει > S || 18 ευλογητη] -γημενη AL† | συ] pr. ει A | θεος] + σου S† | ος ult. > S*† | ημων > A† || 20 σοι > S† | τω > B